Ἀνακάμψω δ' ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου πρόθεσιν· ἀπάν-
των μὲν γὰρ ὅπερ ἔφην τῶν πονηρῶν ἀνθρώπων ἀπάγειν
δεῖ τοὺς παῖδας, μάλιστα δὲ τῶν κολάκων. ὅπερ γὰρ πολ-
λάκις καὶ πρὸς πολλοὺς τῶν | πατέρων διατελῶ λέγων, καὶ 13
νῦν ἂν εἴποιμι. γένος οὐδέν ἐστιν ἐξωλέστερον οὐδὲ μᾶλλον
καὶ θᾶττον ἐκτραχηλίζον τὴν νεότητα τῶν κολάκων, οἳ καὶ
τοὺς πατέρας καὶ τοὺς παῖδας προρρίζους ἐκτρίβουσι, τῶν
μὲν τὸ γῆρας ἐπίλυπον, τῶν δὲ τὴν νεότητα ποιοῦντες, τῶν
δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδο-
νήν. τοῖς παισὶν [τοῖς πλουσίοις] οἱ πατέρες νήφειν παρ-
αινοῦσιν οἱ δὲ μεθύειν, σωφρονεῖν οἱ δ' ἀσελγαίνειν, φυλάτ-
τειν οἱ δὲ δαπανᾶν, φιλεργεῖν οἱ δὲ ῥᾳθυμεῖν, 'στιγμὴ χρόνου
πᾶς ἐστιν ὁ βίος' λέγοντες, 'ζῆν οὐ παραζῆν προσῆκε. τί δὲ
φροντιστέον ὑμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονόληρος καὶ B
σοροδαίμων ἐστί, καὶ μετέωρον αὐτὸν ἀράμενοι τὴν ταχίστην
ἐξοίσομεν.' καθῆκε δέ τις καὶ χαμαιτύπην καὶ προηγώγευσε
γαμετήν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ γήρως ἐσύλησε καὶ
περιέκοψε. μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας, ἄγευστοι παρ-
ρησίας, πλουσίων μὲν κόλακες πενήτων δ' ὑπερόπται, ὡς ἐκ
†λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι, σεσηρότες ὅθ' οἱ
τρέφοντες γελῶσιν ἐκ ψυχῆς, ὑποβολιμαῖα καὶ νόθα μέρη βίου,
πρὸς δὲ τὸ τῶν πλουσίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύθε-
ροι, τῇ προαιρέσει δὲ δοῦλοι· ὅταν δὲ μὴ ὑβρίζωνται, τόθ'
ὑβρίζεσθαι δοκοῦντες, ὅτι μάτην παρατρέφονται. ὥστε εἴ τῳ C
μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ
μιαρὰ ταῦτα θρέμματα. ἐκδιωκτέον δὲ καὶ τὰς τῶν συμφοιτη-
τῶν μοχθηρίας· καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ
διαφθείρειν εἰσί.